www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

**Homerus**

**[Basel], [1541]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Odysseias Ph

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

μενοεικές.] δαψιλὲς. πολύ. ἀχαρίστερον. ἀηδέστερον.

Ἀνδρῶν ἐν μεγάροισιν, ἑκάστου μῦθον ἄκουε.
Δεῖπνον μὲν γάρ τοί γε γελοίωντες τετύκοντο
Ἡδύ τε καὶ μενοεικὲς, ἐπεὶ μάλα πόλλ' ἱέρευσαν.
Δόρπου δ' οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο,
Οἷον δὴ τάχ' ἔμελλε θεὰ καὶ καρτερὸς ἀνὴρ
Θησέμεναι, πρότεροι γὰρ ἀεικέα μηχανόωντο.

ΟΔΥΣΣΕΙΑΣ

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Φ ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Πηνελόπη τῷ τείνοντι τὸ τόξον ὁμολογεῖ τὸν ἑαυτῆς γάμον. Ὀδυσσεὺς δὲ Εὐμαίῳ καὶ Φιλοιτίῳ ἐντειλάμενος περὶ τῆς τῶν θυρῶν ἀσφαλείας, αὐτὸς ἐφίησι τὸ βέλος, διὰ τῶν πελέκεων, ἄλλων τοῦτο μὴ δυνηθέντων.

ΣΧΟΛΙΑ

# ΟΔΥΣΣΕΙΑΣ Φ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Φῖ δ' βιὸν προτίθησιν, ἄεθλον Πηνελόπεια.

Τῇ δ' ἄρ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη,
Κούρῃ Ἰκαρίοιο περίφρονι Πηνελοπείῃ.
Τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον.
Ἐν μεγάροις Ὀδυσῆος ἀέθλια καὶ φόνου ἀρχήν,
Κλίμακα δ' ὑψηλὴν προσεβήσετο οἷο δόμοιο.
Εἵλετο δὲ κληῗδ' εὐκαμπέα χειρὶ παχείῃ
Καλήν, χαλκείην, κώπη δ' ἐλέφαντος ἐπῆεν.
Βῆ δ' ἴμεναι θάλαμόνδε σὺν ἀμφιπόλοισι γυναιξὶν
Ἔσχατον, ἔνθα δέ οἱ κειμήλια κεῖτο ἄνακτος.
Χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος.
Ἔνθα δὲ τόξον ἔκειτο παλίντονον, ἠδὲ φαρέτρη
Ἰοδόκος, πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί.
Δῶρα τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας
Ἴφιτος Εὐρυτίδης ἐπιείκελος ἀθανάτοισι.
Τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν,
Οἴκῳ ἐν Ὀρτιλόχοιο δαΐφρονος, ἤτοι Ὀδυσσεὺς
Ἦλθε μετὰ χρεῖος, τό ῥά οἱ πᾶς δῆμος ὄφελλε.
Μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν
Νηυσὶ πολυκλήϊσι τριηκόσι', ἠδὲ νομῆας.
Τῶν ἕνεκ' ἐξεσίην πολλὴν ὁδὸν ἦλθεν Ὀδυσσεὺς
Παιδνὸς ἐών, πρὸ γὰρ ἧκε πατὴρ ἄλλοι τε γέροντες.
Ἴφιτος αὖθ' ἵππους διζήμενος, αἵ οἱ ὄλοντο
Δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοί.
Αἳ δή οἱ καὶ ἔπειτα φόνος καὶ μοῖρα γένοντο.
Ἐπειδὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον
Φῶθ' Ἡρακλῆα μεγάλων ἐπιίστορα ἔργων.
Ὅς τοι ξεῖνον ἐόντα κατέκτανεν ᾧ ἐνὶ οἴκῳ.
Σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ', οὐδὲ τράπεζαν
Τὴν ἥν οἱ παρέθηκεν, ἔπειτα δὲ πέφνε καὶ αὐτόν.
Ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισι.
Τὰς ἐρέων Ὀδυσῆϊ συνήντετο, δῶκε δὲ τόξον,
Τὸ πρὶν μὲν ῥ' ἐφόρει μέγας Εὔρυτος, αὐτὰρ ὁ παιδὶ
Κάλλιπ' ἀποθνήσκων ἐν δώμασιν ὑψηλοῖσιν.
Τῷ δ' Ὀδυσεὺς ξίφος ὀξὺ καὶ ἄλκιμον ἔγχος ἔδωκεν.
Ἀρχὴν ξεινοσύνης προσκηδέος, οὐδὲ τραπέζῃ
Γνώτην ἀλλήλων, πρὶν γὰρ Διὸς υἱὸς ἔπεφνεν
Ἴφιτον Εὐρυτίδην ἐπιείκελον ἀθανάτοισιν,

Ὅς οἱ

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Φ. ΤΟΥ Ὁμήρου ῥαψῳδίαν.

Τῇ δ' ἄρ ἐπὶ φρεσὶ θῆκε.] ὁ δὲ ἀντὶ τοῦ γὰρ τίθησι δὲ τὸ τόξον. ἵνα ἐὰν μὲν οἱ πλείους ἐντείνωσι στασιάσωσιν. ἐὰν δὲ μηδεὶς ἀνάξιοι τῶν μνηστείας φανῶσιν. κλίμακα δ' ὑψηλήν.] τὴν αὐτῶν γυναικωνίτιδος, εἰς τὴν ἀποθήκην ἵνα τὴν κλεῖν λάβῃ. κώπη δὲ ἐλέφαντος ἐπῆεν.] ἡ λαβὴ τοῦ ξίφους, ἡ κόπτειν δυναμένη. παρὰ τὸ κοπή, ἀναβιβασμῷ καὶ τροπῇ κώπη. καὶ ἡ τῶν ἐρετῶν κώπη λέγεται, παρὰ τὸ κόπτειν τὸ ὕδωρ. ἔσχατον.] νῦν τὸ ἐνδότατον. πολύκμητος.] ὑφ' ὧν πολλὰ κάμνουσι. ἔνθεν δὲ τόξον ἔκειτο.] προνοητικῶς οὐκ ἐν τῷ ἀνδρῶνι ἵνα μὴ ὑπὸ τοῦ καπνοῦ ἡ νευρὰ ῥαγῇ. Λακεδαίμονι.] νῦν ἐν τῇ χώρᾳ τυχήσας. συντυχών. ἐπιείκελος.] ὅμοιος. Μεσσήνῃ.] τῇ Μεσσηνίᾳ χώρᾳ, ἥτις ἦν μέρος τῶν Λακεδαίμονος πρὸ τῶν Ἡρακλειδῶν καθόδου. οἴκῳ ἐν Ὀρτιλόχοιο.] ἐν Φηραῖς. μετὰ χρεῖος.] διὰ ὄφλημα. ἄειραν.] νῦν ἥρπασαν. ἐξεσίην.] δημοσίαν ἐκπεμψιν. παιδνός.] παῖς νέος. μεγάλων ἐπιίστορα ἔργων.] μεγαλουργόν, ἐπὶ μεγάλοις ἔργοις ἱστορούμενον. ἐπιστήμονα. Ἴφιτος αὖθ' οἱ ἵππους διζήμενος. αἵ ὄλοντο δώδεκα θήλειαι.] Ἴφιτος Εὐρύτου μὲν παῖς, Οἰχαλιεὺς δὲ τὸ γένος, ἀπολομένων αὐτῷ τῶν ἵππων, ὁρμηθεὶς τὰς πέριξ ἐρευνῶν πόλεις εἰπεῖν φανεῖεν. Πολυΐδου δὲ τοῦ μάντεως εἰπόντος αὐτῷ μὴ παραγίνεσθαι εἰς Τίρυνθα χάριν ζητήσεως, οὐ γὰρ εἶναι συμφέρον, λέγεται παρακούσαντα παραγενέσθαι. τὸν δὲ Ἡρακλέα μηχανῇ τινὶ καὶ στρατηγίᾳ συνεφελκυσάμενον αὐτὸν ἄγειν εἰς ἐπίκρημνον τεῖχος. καὶ καταστρέψαι. διὰ τὸ πρὸς αὐτὸν ἔχειν ἔγκλημα, καὶ τὸν πατέρα, ὅτι τελευτήσαντι αὐτῷ τὸν ἄθλον, τὴν Ἰόλην γαμεῖν οὐκ ἔδωκαν ἀλλ' ἀτιμάσαντες ἀπέπεμψαν. λέγεται δὲ ὡς ἀγανακτήσας ὁ Ζεὺς ἐπὶ τῇ ξενοκτονίᾳ, προσέταξεν Ἑρμῇ λαβόντα τὸν Ἡρακλέα πωλῆσαι δίκην τοῦ φόνου. τὸν δὲ εἰς Λυδίαν ἀγαγόντα τῇ τῶν τόπων βασιλευούσῃ Ὀμφάλῃ δοῦναι τριῶν τιμηθέντα ταλάντων. ἡ ἱστορία παρὰ Φερεκύδῃ. μέγας Εὔρυτος.] ἐπὶ τοξικῇ. ἀρχὴν ξεινοσύνης.] ἀρχὴν ποιούμενα ξενίας. προσκηδέος.] τῶν ποιούσης κηδεμονικῶς ἔχειν



πρὸς ἀλ

ὅς οἱ τόξον ἔδωκε.] φέρον ἔχει τὴν δόσιν, ἐπεὶ διὰ μέσου τινὰ παραδιηγεῖται. ᾑρεῖτο.] ἐλάμβανεν. κέσκετο.] ἔκειτο. ἀπέλυσε κορώνης.] τὸ κλεῖθρον ἑκατέρωθεν ἐξήρτητο πρὸς κρίκον, ὥστε δεῖ τοῦ διελκομένου εἰς τοὐναντίον ἀνοίγεσθαι. κορώνης.] κρίκου κόρακος. ἀνέκοπτεν.] ἀνέκρουεν, ἀνώθει. ὀχῆας.] νῦν τὰς λεγομένας βαλάνους τὰς ἐν τῷ λεγομένῳ χελωνίῳ κατ' ἀντικρὺ τῆς κλειδός. ἃς περιάγονται καὶ ἀνοίγονται. γωρυτῷ.] τῇ θήκῃ τοῦ τόξου. ὄγκιον.] ἔστι μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις. σημαίνει δὲ ἀγγεῖον σχιστοειδὲς ἐν ᾧ ἔκειντο οἱ ὄγκοι. ὄγκοι δέ εἰσιν οἱ πώγωνες τῶν ἀκίδων. καὶ ἐν ἄλλοις· ὡς δ' ἴδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας. συνεκτικὸν τῶν ὄγκων ἀγγεῖον· ὡς κρεῖον τὸ κρεοδόχον ἀγγεῖον. ὄγκιον οὖν ἡ θήκη τῶν ἀκίδων. εἴρηται δὲ παρὰ τὸ ὀγκῶδες εἶναι. τοῖο.] τοῦ ἰδίου.

ἐχράετε.] ἐβιάσασθε, ἐβαρίσατε.

μύθου.] νῦν τῆς στάσεως ὅθεν καὶ ἀνακρέων τοὺς ἐν τῇ Σάμῳ ἁλιεῖς ὄντας στασιαστὰς φησίν· μυθηταὶ δ' ἀν' νῆσον μεγίστην δίεπουσιν ἱρὸν ἄστυ. ἀντὶ τοῦ στασιασταὶ μυθηταί. ἐπισχεσίην.] νῦν σημαίνει πρόφασιν, ἐπεὶ μονῆς γὰρ χρεία τῷ προφασιζομένῳ εἰς τὸ ψεύδεσθαι καὶ τὸ μὴ ἀληθεύειν. καὶ ἀλκαῖος οὐδέ τι μηνάμενος ἄλλα τὸ νόημα, ἀντὶ τοῦ προφασιζόμενος, ἀλλαχοῦ ἀποτρέπων τὸ ἑαυτοῦ νόημα. τόδε φαίνετ' ἄεθλον.] τὸ ἐμὲ γῆμαι. θήσω.] προτίθημι. δυοκαίδεκα πάντων.] ἡ γὰρ ἐν μέσοις ὁδὸς τὸ βέλος ἐξαβλὸς ἦν· ὡς ἐλλείπων τῇ δυνάμει.

ἐφημέεια.]

Ὅς οἱ τόξον ἔδωκε, τὸ δ' οὔποτε δῖος Ὀδυσσεὺς
Ἐρχόμενος πόλεμόνδε μελαινάων ἐπὶ νηῶν
Ἡρεῖτ', ἀλλ' αὐτοῦ μνῆμα ξείνοιο φίλοιο
Κέσκετ' ἐνὶ μεγάροισι, φόρει δέ μιν ἧς ἐπὶ γαίης.
Ἡ δ' ὅτε δὴ θάλαμον τὸν ἀφίκετο δῖα γυναικῶν,
Οὐδόν τε δρύϊνον προσεβήσετο, τόν ποτε τέκτων
Ξέσσεν ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνεν,
Ἐν δὲ σταθμοὺς ἄρσε, θύρας δ' ἐπέθηκε φαεινάς.
Αὐτίκ' ἄρ' ἥγ' ἱμάντα θοῶς ἀπέλυσε κορώνης,
Ἐν δὲ κληῗδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας
Ἄντα τιτυσκομένη, τὰ δ' ἀνέβραχεν ἠΰτε ταῦρος
Βοσκόμενος λειμῶνι, τόσ' ἔβραχε καλὰ θύρετρα
Πληγέντα κληῗδι, πετάσθησαν δέ οἱ ὦκα.
Ἡ δ' ἄρ' ἐφ' ὑψηλῆς σανίδος βῆ, ἔνθα δὲ χηλοὶ
Ἕστασαν, ἐν δ' ἄρα τῇσι θυώδεα εἵματα κεῖτο.
Ἔνθεν ὀρεξαμένη ἀπὸ πασσάλου αἴνυτο τόξον
Αὐτῷ γωρυτῷ, ὅς οἱ περίκειτο φαεινός.
Ἑζομένη δὲ κατ' αὖθι, φίλοις ἐπὶ γούνασι θεῖσα,
Κλαῖε μάλα λιγέως, ἐκ δ' ᾕρεε τόξον ἄνακτος.
Ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
Βῆ ῥ' ἴμεναι μέγαρόνδε μετὰ μνηστῆρας ἀγαυούς.
Τόξον ἔχουσ' ἐν χειρὶ παλίντονον, ἠδὲ φαρέτρην
Ἰοδόκον, πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί.
Τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι φέρον ὄγκιον, ἔνθα σίδηρος
Κεῖτο πολὺς καὶ χαλκός, ἀέθλια τοῖο ἄνακτος.
Ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα.
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
Αὐτίκα δὲ μνηστῆρσι μετηύδα καὶ φάτο μῦθον.
Κέκλυτέ μευ μνηστῆρες ἀγήνορες, οἳ τόδε δῶμα
Ἐχράετ' ἐσθιέμεν καὶ πινέμεν ἐμμενὲς αἰεί,
Ἀνδρὸς ἀποιχομένοιο πολὺν χρόνον, οὐδέ τιν' ἄλλην
Μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε.
Ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι, θέσθαι τε γυναῖκα.
Ἀλλ' ἄγετε μνηστῆρες ἐπεὶ τόδε φαίνετ' ἄεθλον,
Θήσω γὰρ μέγα τόξον Ὀδυσσῆος θείοιο.
Ὃς δέ κε ῥηΐτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσι,
Καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
Τῷ κεν ἅμ' ἑσποίμην νοσφισσαμένη τόδε δῶμα
Κουρίδιον μάλα καλὸν ἐνίπλειον βιότοιο,
Τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι ἔν περ ὀνείρῳ.
Ὣς φάτο, καί ῥ' Εὔμαιον ἀνώγει δῖον ὑφορβὸν
Τόξον μνηστήρεσσι θέμεν, πολιόν τε σίδηρον,
Δακρύσας δ' Εὔμαιος ἐδέξατο καὶ κατέθηκεν.

Κλαῖε

Κλαῖε δὲ βουκόλος ἄλλοθ᾽, ἐπεὶ ἴδε τόξον ἄνακτος.
Ἀντίνοος δ᾽ ἐνένιπεν, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε.
Νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες,
Ἆ δειλώ, τί νυ δάκρυ κατείβετον, ἠδὲ γυναικὶ
Θυμὸν ἐνὶ στήθεσσιν ὀρίνετον; ᾗ τε καὶ ἄλλως
Κεῖται ἐν ἄλγεσι θυμός, ἐπεὶ φίλον ὤλεσ᾽ ἀκοίτην.
Ἀλλ᾽ ἀκέων δαίνυσθε καθήμενοι, ἠὲ θύραζε
Κλαίετον ἐξελθόντε, κατ᾽ αὐτόθι τόξα λιπόντε
Μνηστήρεσσιν ἄεθλον ἀάατον, οὐ γὰρ ὀΐω
Ῥηϊδίως τόδε τόξον ἐΰξοον ἐντανύεσθαι.
Οὐ γάρ τις μετὰ † τοῖος ἀνὴρ ἐν τοῖσδεσι πᾶσιν,
Οἷος Ὀδυσσεὺς ἔσκεν, ἐγὼ δέ μιν αὐτὸς ὄπωπα.
Καὶ γὰρ μνήμων εἰμί, πάϊς δ᾽ ἔτι νήπιος ἦα.
Ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει,
Νευρὴν ἐντανύσειν, διοϊστεύσειν τε σιδήρου.
Ἤτοι οἰστοῦ γε πρῶτος γεύσεσθαι ἔμελλεν
Ἐκ χειρῶν Ὀδυσῆος ἀμύμονος, ὃν τότ᾽ ἀτίμα
Ἥμενος ἐν μεγάρῳ, ἐπεὶ δ᾽ ὤρυνε πάντας ἑταίρους.
Τοῖσι δὲ καὶ μετέειφ᾽ ἱερὴ ἲς Τηλεμάχοιο.
Ὢ πόποι, ἦ μάλα με Ζεὺς ἄφρονα θῆκε Κρονίων.
Μήτηρ μέν μοί φησι φίλη πινυτή περ ἐοῦσα
Ἄλλῳ ἅμ᾽ ἕψεσθαι νοσφισσαμένη τόδε δῶμα,
Αὐτὰρ ἐγὼ γελόω, καὶ τέρπομαι ἄφρονι θυμῷ.
Ἀλλ᾽ ἄγετε μνηστῆρες, ἐπεὶ τόδε φαίνετ᾽ ἄεθλον,
Οἵη νῦν οὐκ ἔστι γυνὴ κατ᾽ Ἀχαιΐδα γαῖαν,
Οὔτε Πύλου ἱερῆς, οὔτ᾽ Ἄργεος, οὔτε Μυκήνης,
Οὔτ᾽ αὐτῆς Ἰθάκης, οὔτ᾽ Ἠπείροιο μελαίνης.
Καὶ δ᾽ αὐτοὶ τόδε γ᾽ ἴστε, τί με χρὴ μητέρος αἴνου.
Ἀλλ᾽ ἄγε μὴ μύνῃσι παρέλκετε, μηδ᾽ ἔτι τόξου
Δηρὸν ἀποτρωπᾶσθε τανυστύος, ὄφρα ἴδωμεν.
Καὶ δέ κεν αὐτὸς ἐγὼ τοῦ τόξου πειρησαίμην.
Εἰ δέ κεν ἐντανύσω διοϊστεύσω τε σιδήρου
Οὔ κέ μοι ἀχνυμένῳ τάδε δώματα πότνια μήτηρ
Λείποι ἅμ᾽ ἄλλῳ ἰοῦσ᾽, ὅτ᾽ ἐγὼ κατόπισθε λιποίμην
Οἷός τ᾽ ἤδη πατρὸς ἀέθλια κάλ᾽ ἀνελέσθαι.
Ἦ, καὶ ἀπ᾽ ὤμοιιν χλαῖναν θέτο φοινικόεσσαν,
Ὀρθὸς ἀναΐξας, ἀπὸ δὲ ξίφος ὀξὺ θέτ᾽ ὤμων.
Πρῶτον μὲν πελέκεας στῆσεν, διὰ τάφρον ὀρύξας,
Πᾶσι μίαν μακρήν, καὶ ἐπὶ στάθμην ἴθυνεν.
Ἀμφὶ δὲ γαῖαν ἔναξε, τάφος δ᾽ ἕλε πάντας ἰδόντας
Ὡς εὐκόσμως στῆσε, πάρος δ᾽ οὐ πώποτ᾽ ὀπώπει.
Στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰών, καὶ τόξου πειρήτιζεν.
Τρὶς μέν μιν πελέμιξεν ἐρύσσεσθαι μενεαίνων,
Τρὶς δὲ μεθῆκε βίης ἐπιελπόμενος τό γε θυμῷ
Νευρὴν ἐντανύσειν, διοϊστεύσειν τε σιδήρου.

καὶ νύ κε

ἐφημέρια φρονέοντες.] τὸ παραυτίκα μόνον φρονοῦντες, οὐ προνοοῦντες τοῦ μέλλοντος. τόξα. νῦν τὴν σύμπασαν σκευήν. ἀάατον.] ἐπιβλαβῆ, ἢ ἄνευ βλάβης. μετά.] ἀντὶ τοῦ ὑπάρχει. ἀτίμα.] ὕβριζεν. μύνῃσι.] προφάσεσιν. μύσαντα τὰ ὄμματα σκέπτεσθαι. ] τί καὶ δρᾶν. τούτου γὰρ χάριν προφασίζονται ἵνα ἐπιμείνωσιν. οἱ δὲ κατασιωπῶντες παρὰ τὸ μύειν τὸ στόμα. παρέλκετε.] ὑπερτίθεσθε. ἀποτρωπᾶσθε.] ἀποτρέπεσθε. τανυστύος.] τῆς στάσεως τοῦ ἐντανυσμοῦ μετὰ. σιδήρου.] τῶν πελέκεων. † μετέω
ἔναξε.] συνεπόλωσεν. ὀπώπει.] θεασάμενος ἦν. πειρήτιζε.] διάπειραν ἐλάμβανεν. πελέμιξεν.] ἔκαμπτεν.

κορώνη.]

κορώνῃ.] τῷ ἄκρῳ τοῦ τόξου. ὄρνυσθε.] ἀνίστασθε. ἐπιδέξια.] ἐκ τοῦ δεξιοῦ μέρους. ὅθεν τέ περ οἰνοχοεύει.] εὔλογόν ἐστιν εἰσιόντος ὡς τὸν ἀνδρῶνα ἐν δεξιᾷ κεῖσθαι τὸν κρατῆρα. μυχοίτατος.] ἐνδότατος. ἐχθραί.] μισηταί. ἀτρίπτους.] ἀήθεις. κεκαδήσει.] στερήσει, χωρίσει. ἐέδνοις διζόμενος.] πλήθει ἔδνων ζητῶν.
βία γὰρ καὶ ῥώμη οὐ λήψεται.
κρατῆρα

Καί νύ κε δή ῥ' ἐτάνυσσε βίῃ τὸ τέταρτον ἀνέλκων,
Ἀλλ' Ὀδυσεὺς ἀνένευε καὶ ἔσχεθεν ἱέμενόν περ.
Τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο.
Ὢ πόποι, ἦ καὶ ἔπειτα κακός τ' ἔσομαι καὶ ἄκικυς,
Ἠὲ νεώτερός εἰμι, καὶ οὔπω χερσὶ πέποιθα
Ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
Ἀλλ' ἄγεθ' οἵ περ ἐμεῖο βίῃ πολὺ φέρτεροί ἐστε,
Τόξου πειρήσασθε, καὶ ἐκτελέωμεν ἄεθλον.
Ὣς εἰπών, τόξον μὲν ἀπὸ ἕο θῆκε χαμᾶζε.
Κλίνας κολλητῇσιν ἐϋξέστῃς σανίδεσσιν.
Αὐτοῦ δ' ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ.
Ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
Τοῖσιν δ' Ἀντίνοος μετέφη Εὐπείθεος υἱός.
Ὄρνυσθ' ἑξείης, ἐπιδέξια πάντες ἑταῖροι
Ἀρξάμενοι τοῦ χώρου ὅθεν τέ περ οἰνοχοεύει.
Ὣς ἔφατ' Ἀντίνοος. τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Λειώδης δὲ πρῶτος ἀνίστατο Οἴνοπος υἱός,
Ὅ σφι θυοσκόος ἔσκε, παρὰ κρητῆρα δὲ καλὸν
Ἷζε μυχοίτατος αἰεί, ἀτασθαλίαι δέ οἱ οἴῳ
Ἐχθραὶ ἔσαν. πᾶσι δὲ νεμέσσα μνηστήρεσσιν.
Ὅς ῥά τότε πρῶτος τόξον λάβε καὶ βέλος ὠκύ.
Στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, καὶ τόξου πειρήτιζεν.
Οὐδέ μιν ἐντάνυσεν, πρὶν γὰρ κάμε χεῖρας ἀνέλκων
Ἀτρίπτους ἁπαλάς, μετὰ δὲ μνηστῆρσιν ἔειπεν.
Ὦ φίλοι, οὐ μὲν ἐγὼ τανύω, λαβέτω δὲ καὶ ἄλλος.
Πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει
Θυμοῦ καὶ ψυχῆς, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
Τεθνάμεν ἢ ζώοντας ἁμαρτεῖν, οὗθ' ἕνεκ' αἰεὶ
Ἐνθάδε ὁμιλέομεν ποτιδέγμενοι ἤματα πάντα.
Νῦν μέν τις καὶ ἔλπετ' ἐνὶ φρεσὶν ἠδὲ μενοινᾷ,
Γῆμαι Πηνελόπειαν Ὀδυσσῆος παράκοιτιν,
Αὐτὰρ ἐπὴν τόξου πειρήσεται, ἠδὲ ἴδηται,
Ἄλλην δή τιν' ἔπειτα Ἀχαιϊάδων εὐπέπλων,
Μνάσθω ἐέδνοισιν διζήμενος, ἡ δέ κ' ἔπειτα
Γήμαιθ' ὅς κεν πλεῖστα πόροι, καὶ μόρσιμος ἔλθοι.
Ὣς ἄρ' ἐφώνησεν, καὶ ἀπὸ ἕο τόξον ἔθηκε,
Κλίνας κολλητῇσιν ἐϋξέστῃς σανίδεσσιν.
Αὐτοῦ δ' ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ.
Ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη,
Ἀντίνοος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.
Λειῶδες ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
Δεινόν τ' ἀργαλέον τε, νεμεσσῶμαι δέ τ' ἀκούων.
Εἰ δὴ τοῦτό γε τόξον ἀριστῆας κεκαδήσει,
Θυμοῦ, καὶ ψυχῆς, ἐπεὶ οὐ δύνασαι σὺ τανύσσαι.
Οὐ γάρ τοι σέ γε τοῖον ἐγείνατο πότνια μήτηρ,
Οἷόν τε

Οἷόν τε ῥυτῆρα βιοῦ τ' ἔμμεναι, καὶ ὀϊστῶν.
Ἀλλ' ἄλλοι τανύουσι τάχα μνηστῆρες ἀγαυοί.
Ὣς φάτο, καί ῥ' ἐκέλευσε Μελάνθιον αἰπόλον αἰγῶν·
Ἄγρει, πῦρ δὴ κεῖον ἐνὶ μεγάροισι Μελανθεῦ.
Πὰρ δὲ τίθει δίφρον τε μέγαν, καὶ κῶας ἐπ' αὐτοῦ.
Ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος,
Ὄφρα νέοι θάλπωντες ἐπιχρείοντες ἀλοιφῇ,
Τόξου πειρώμεσθα, καὶ ἐκτελέσωμεν ἄεθλον.
Ὣς φάθ', ὁ δ' αἶψ' ἀνέκαιε Μελάνθιος ἀκάματον πῦρ·
Πὰρ δὲ φέρων δίφρον θῆκεν, καὶ κῶας ἐπ' αὐτοῦ.
Ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος.
Τῷ ῥα νέοι θάλποντες ἐπειρῶντ', οὐδὲ δύναντο
Ἐντανύσαι, πολλὸν δὲ βίης ἐπιδευέες ἦσαν,
Ἀντίνοος δ' ἔτ' ἐπεῖχε καὶ Εὐρύμαχος θεοειδής,
Ἀρχοὶ μνηστήρων, ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
Τὼ δ' ἐξ οἴκου βῆσαν ὁμαρτήσαντες, ἅμ' ἄμφω,
Βουκόλος, ἠδὲ συφορβὸς Ὀδυσσῆος θείοιο.
Ἐκ δ' αὐτὸς μετὰ τοὺς δόμου ἤλυθε δῖος Ὀδυσσεύς.
Ἀλλ' ὅτε δή ῥ' ἐκτὸς θυρέων ἔσαν ἠδὲ καὶ αὐλῆς
Φθεγξάμενός σφ' ἐπέεσσι προσηύδα μειλιχίοισι.
Βουκόλε καὶ σὺ συφορβέ. ἔπος τί κε μυθησαίμην
Ἦ αὐτὸς κεύθω, φάσθαι δέ με θυμὸς ἀνώγει.
Ποῖοί κ' εἶτ' Ὀδυσῆϊ ἀμυνέμεν εἴ ποθεν ἔλθοι.
Ὧδε μάλ' ἐξαπίνης, καί τις θεὸς αὐτὸν ἐνείκη,
Ἤ καὶ μνηστήρεσσιν ἀμύνοιτ' ἢ Ὀδυσῆϊ,
Εἴπαθ' ὅπως ὑμέας κραδίη θυμός τε κελεύει.
Τὸν δ' αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
Ζεῦ πάτερ. αἲ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ.
Ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ἑ δαίμων.
Γνοίης χ', οἵη ἐμὴ δύναμις, καὶ χεῖρες ἕπονται.
Ὣς δ' αὔτως Εὔμαιος ἐπεύχετο πᾶσι θεοῖσι.
Νοστῆσαι Ὀδυσῆα πολύφρονα ὃν δὲ δόμον δέ.
Αὐτὰρ ἐπειδὴ τῶν γε νόον νημερτέ' ἀνέγνω,
Ἐξαῦτις σφ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν.
Ἔνδον μὲν δὴ ὅδ' αὐτὸς ἐγὼ κακὰ πολλὰ μογήσας
Ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
Γιγνώσκω δ' ὡς σφῶϊν ἐελδομένοισιν ἱκάνω.
Οἴοισιν δμώων· τῶν δ' ἄλλων οὔ τευ ἄκουσα
Εὐξαμένου ἐμὲ αὖτις ὑπότροπον οἴκαδ' ἱκέσθαι.
Σφῶϊν δ' ὡς ἔσεταί περ, ἀληθείην καταλέξω.
Αἴχ' ὑπ' ἐμοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυοὺς
Ἄξομαι ἀμφοτέροις ἀλόχους καὶ κτήματ' ὀπάσσω,
Οἰκία τ' ἐγγὺς ἐμεῖο τετυγμένα· καί μοι ἔπειτα
Τηλεμάχου ἑτάρω τε κασιγνήτω τε ἔσεσθον.
Εἰ δ' ἄγε δὴ καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω,

Ὄφρα

ῥυτῆρα βιοῦ.] ἑλκυστῆρα τόξου. κεῖον.] καῦσον ἅψον. ἔνεικε.] ἄγαγε, κόμισον. θάλποντες.] θερμαίνοντες. βίης ἐπιδευέες.] δυνάμεως ἐνδεεῖς. ἤτοι τοῦ τόξου. ἢ τοῦ Ὀδυσσέως. ἐπεῖχε.] ἐπείχετο. ὁ Ἀντίνοος ἐπεῖχε καὶ ἐκώλυσεν αὐτοὺς πρὸς τὸ παρὸν χρήσασθαι τῷ τόξῳ. φαίνεται γὰρ ὁ Ἀντίνοος ἔξω λέγων μὴ δεῖν τεῖναι τὸ τόξον, ἑορτῆς οὔσης τοῦ τοξικοῦ θεοῦ, καὶ Εὐρύμαχος πείθεται. τὼ δ' ἐξ οἴκου βῆσαν.] εἰς τὸν πρόδομον ἐξῆλθον, πιθανῶς ἐπεὶ μακρῷ πρόσθεν ὁ Ἀντίνοος φησὶν κλαίοντας ἐξελθόντας, καὶ ἅμα ἵνα τῷ Ὀδυσσεῖ συμβάλωσιν. ποῖοί κ' εἶτε.] τὸ πλῆρες ποῖοι κ' εἴητε. τὸ δὲ σημαινόμενον ποῖοι ἂν εἴητε κατὰ τὴν γνώμην. ἐνείκη.] ἐνέγκοι ἀγάγοι. δύναμις καὶ χεῖρες ἕπονται.] τῇ δυνάμει καὶ χεῖρες ἀκολουθοῦσιν. σφῶϊν.] ὑμῖν. ὑπότροπον.] ἐξ ὑποστροφῆς.

ἐγγυτον.]

XX 4

εὔγνωτον.] ἀσφαλῶς γνωρίσιμον. ἀποέργαθεν.] ἀφεῖλεν, ἀπεκάλυψεν. κληῗσαι.] ἐπικλεῖσαι. ἐν ἕρκεσι.] τοῖς τειχίοις. προβλώσκειν.] προϊέναι ἔξω. ἰῆλαι.] ἐπιβαλεῖν. σέλα.] τῇ φλογί. ἐλεγχείη.] ἀδοξία. τοῖο θεοῖο.] τοῦ θεοῦ τοῦ ἐπὶ τοῦ τόξου. καταθέωμεν.]

Ὄφρά μ' ἐΰ γνωτὸν πιστωθῆτόν τ' ἐνὶ θυμῷ,
Οὐλὴν τήν ποτέ με σῦς ἤλασε λευκῷ ὀδόντι
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο.
Ὣς εἰπὼν, ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς.
Τὼ δ' ἐπεὶ εἰσιδέτην εὖ τ' ἐφράσαντο ἕκαστα,
Κλαῖον ἄρ' ἀμφ' Ὀδυσῆα δαΐφρονα χεῖρε βαλόντε,
Καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε, καὶ ὤμους.
Ὣς δ' αὔτως Ὀδυσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσε.
Καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
Εἰ μὴ Ὀδυσσεὺς αὐτὸς ἐρύκακε φώνησέν τε.
Παύεσθον κλαυθμοῖο γόοιό τε μή τις ἴδηται
Ἐξελθὼν μεγάροιο, ἀτὰρ εἴπῃσι καὶ εἴσω.
Ἀλλὰ προμνηστῖνοι ἐσέλθετε, μὴ δ' ἅμα πάντες.
Πρῶτος ἐγὼ, μετὰ δ' ὔμμες, ἀτὰρ τόδε σῆμα τετύχθω.
Ἄλλοι μὲν γὰρ πάντες ὅσοι μνηστῆρες ἀγαυοὶ
Οὐκ ἐάσουσιν ἐμοὶ, δόμεναι βιὸν ἠδὲ φαρέτρην,
Ἀλλὰ σὺ δῖ' Εὔμαιε φέρων ἀνὰ δώματα τόξον,
Ἐν χείρεσσιν ἐμοὶ θέμεναι, εἰπεῖν τε γυναιξὶ
Κληῗσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας,
Ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
Ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
Προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.
Σοὶ δὲ Φιλοίτιε δῖε θύρας ἐπιτέλλομαι αὐλῆς
Κληῗσαι κληῗδι. θοῶς δ' ἐπὶ δεσμὸν ἰῆλαι.
Ὣς εἰπὼν, εἰσῆλθε δόμους εὖ ναιετάοντας.
Ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰὼν, ἔνθέν περ ἀνέστη.
Ἐς δ' ἄρα καὶ τὼ δμῶε ἴτην θείου Ὀδυσῆος.
Εὐρύμαχος δ' ἤδη τόξον μετὰ χερσὶν ἐνώμα,
Θάλπων ἔνθα καὶ ἔνθα σέλα πυρὸς, ἀλλά μιν οὐδ' ὣς
Ἐντανύσαι δύνατο, μέγα δ' ἔστενε κυδάλιμον κῆρ.
Ὀχθήσας δ' ἄρα εἶπεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.
Ὢ πόποι, ἦ μοι ἄχος περὶ αὐτοῦ καὶ περὶ πάντων.
Οὔ τι γάμου τοσοῦτον ὀδύρομαι ἀχνύμενός περ,
Εἰσὶ, καὶ ἄλλαι πολλαὶ Ἀχαιΐδες, αἱ μὲν ἐν αὐτῇ
Ἀμφιάλῳ Ἰθάκῃ, αἱ δ' ἄλλῃσιν πολίεσσιν.
Ἀλλ' εἰ δὴ τόσον δὲ βίης ἐπιδευέες εἰμὲν
Ἀντιθέου Ὀδυσῆος, ὅτ' οὐ δυνάμεσθα τανύσαι
Τόξον, ἐλεγχείη δὲ καὶ ἐσσομένοισι πυθέσθαι.
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη Εὐπείθεος υἱός.
Εὐρύμαχ', οὐχ οὕτως ἔσται, νοέεις δὲ καὶ αὐτός.
Νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο θεοῖο
Ἁγνὴ, τίς δέ κε τόξα τιταίνοιτ', ἀλλὰ ἕκηλοι
Κάτθετ', ἀτὰρ πελέκεάς γε καὶ εἴ κ' εἰῶμεν ἅπαντας.
Ἱστάμεν, οὐ μὲν γάρ τιν' ἀναιρήσεσθαι ὀΐω,
Ἐλθόντ' ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.

Ἀλλ'

Ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν.
Ὄφρα σπείσαντες καταθείομεν ἀγκύλα τόξα.
Ἠῶθεν δὲ κέλεσθε Μελάνθιον αἰπόλον αἰγῶν
Αἶγας ἄγειν, αἳ πᾶσι μέγ' ἔξοχοι αἰπολίοισιν.
Ὄφρ' ἐπὶ μηρία θέντες Ἀπόλλωνι κλυτοτόξῳ,
Τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον.
Ὣς ἔφατ' Ἀντίνοος. τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.
Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
Οἱ δ' ἐπεὶ οὖν σπεῖσάν τ', ἔπιόν θ' ὅσον ἤθελε θυμός,
Τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς.
Κέκλυτέ μευ μνηστῆρες ἀγακλειτῆς βασιλείης,
Ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Εὐρύμαχον δὲ μάλιστα καὶ Ἀντίνοον βασιλῆα
Λίσσομ', ἐπεὶ καὶ τοῦτο ἔπος κατὰ μοῖραν ἔειπε.
Ἠῶθεν δὲ θεὸς δώσει κράτος ᾧ κ' ἐθέλῃσιν.
Ἀλλ' ἄγε μοι δότε τόξον ἐΰξοον, ὄφρα μεθ' ὑμῖν
Χειρῶν καὶ σθένεος πειρήσομαι, εἴ μοι ἔτ' ἐστὶν
Ἲς οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
Ἦ ἤδη μοι ὄλεσσεν ἄλη τ', ἀκομιστίη τε.
Ὣς ἔφατ', οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν,
Δείσαντες μὴ τόξον ἐΰξοον ἐντανύσειεν.
Ἀντίνοος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν,
Ἆ δειλὲ ξείνων, ἐνί τοι φρένες οὐδ' ἠβαιαί.
Οὐκ ἀγαπᾷς ὃ ἕκηλος ὑπερφιάλοισι μεθ' ἡμῖν
Δαίνυσαι, οὐδέ τι δαιτὸς ἀμέρδεαι, αὐτὰρ ἀκούεις
Μύθων ἡμετέρων καὶ ῥήσιος, οὐδέ τις ἄλλος,
Ἡμετέρων μύθων ξεῖνος καὶ πτωχὸς ἀκούει.
Οἶνός σε τρώει μελιηδής, ὅς τε καὶ ἄλλους
Βλάπτει ὃς ἄν μιν χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνῃ.
Οἶνος καὶ Κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα,
Ἄασεν ἐν μεγάρῳ μεγαθύμου Πειριθόοιο,
Ἐς Λαπίθας ἐλθόντ'. ὁ δ' ἐπεὶ φρένας ἄασεν οἴνῳ,
Μαινόμενος κάκ' ἔρεξε δόμον κάτα Πειριθόοιο.
Ἥρωας δ' ἄχος εἷλε, διὲκ προθύρου δὲ θύραζε,
Ἕλκον ἀναΐξαντες, ἀπ' οὔατα νηλέϊ χαλκῷ
Ῥῖνάς τ' ἀμήσαντες, ὁ δὲ φρεσὶν ᾗσιν ἀασθείς,
Ἤϊεν ἣν ἄτην ὀχέων ἀεσίφρονι θυμῷ.
Ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη,
Οἷ τ' αὐτῷ πρώτῳ κακὸν εὕρετο οἰνοβαρείων.
Ὣς καὶ σοὶ μέγα πῆμα πιφαύσκομαι αἴ κε τὸ τόξον
Ἐντανύσῃς, οὐ γάρ τευ ἐπητύος † ἀντιβολήσεις,
Ἡμετέρῳ ἐνὶ δήμῳ, ἄφαρ δέ σε νηῒ μελαίνῃ
Εἰς Ἔχετον βασιλῆα βροτῶν δηλήμονα πάντων
Πέμψομεν.

οἶνος καὶ Κένταυρον ἀγακλειτὸν Εὐρυτίωνα.] ἕνα τῶν τῷ Πειρίθῳ γάμου Κενταύρων ἀπολομένων τὸν Εὐρυτίωνα λέγει, ὅτι τὴν Ἀδράστου θυγατέρα, λέγω δὴ Ἱπποδάμειαν Πειρίθους πρὸς γάμον ἀγόμενος, ἐκάλεσε κατὰ συγγένειαν Λαπίθας Κενταύρους. ὑπὸ μέθης δὲ οἱ Κένταυροι προαχθέντες τῶν Λαπίθων, ἁρπάσαι τὰς γυναῖκας ἐπεχείρησαν. οἱ δὲ ὀργισθέντες ἀνεῖλον τοὺς Κενταύρους. Βακχυλίδης δὲ διάφορον οἴεται τὸν Εὐρυτίωνα. φησὶν γὰρ ἐπιξενωθέντα Δεξάμενος ἐν Ἤλιδι ὑβριστικῶς ἐπιχειρῆσαι τῇ τοῦ ξενοδοχοῦντος θυγατρί. καὶ διὰ τοῦτο ὑπὸ Ἡρακλέους ἀναιρεθῆναι καιρίως τοῖς οἴνοις ἐπιστάντος. ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη. οἷ τε αὐτῷ πρώτῳ κακὸν εὕρετο οἰνοβαρείων.] Ἰξίων ὁ Διὸς παῖς Λαπίθης τὸ γένος. κοινωνὸς τῆς τῶν θεῶν τραπέζης γενόμενος. καὶ πιὼν πολὺ τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας ἁψάμενος, οὐχ ὅπως αὐτὸς ἀμοιβὰς τῷ Διὶ εὐεργεσίας ἐσκέπτετο, ἀλλὰ διὰ τῆς ἐμφύτου κακίας ἐπείραζε τὸν τῆς Ἥρας γάμον. ὑποπτεύσασα δὲ ἡ θεός, ἀνήνεγκε τῷ Διὶ τὴν Ἰξίονος λύσσαν. ὁ δὲ ἐνθυμούμενος ζήλῳ πάλιν τοῦτο ταύτην δρᾶν διαβάλλουσαν τοὺς ὑπ' αὐτοῦ γεγενημένους, ἔκ τινος ὅμως ἐπιτεχνήσεως τῆς Ἰξίονος ἐπειρᾶτο γνώμης. σκοπῶν δὲ εὗρε τὸ ἀληθές. νεφέλην γὰρ Ἥρᾳ παρεικάσας, μόνην ἐν τῷ θαλάμῳ τοῦ Ἰξίονος κατέλιπεν. ὁ δὲ ὡς Ἥραν ἐβιάσατο. τοῦτον οὖν ὁ Ζεὺς ἀγανακτήσας † ἴσῳ θανάτῳ περιέβαλε τιμωρίᾳ. † ἰσοθανάτῳ γευσάμενον γὰρ αὐτὸν τῆς ἀμβροσίας, οὐκ ἦν αὐτὸν ἀποθανεῖν, ἀλλὰ τροχοὺς ποιήσας ὑποπτέρους. ἔδησε τὸν Ἰξίονα πρὸς τὰς τῶν τροχῶν κνημίδας καὶ εἴασε κατὰ τοῦ σφαιροειδοῦς φέρεσθαι βοῶντα, ὡς τοὺς εὐεργέτας ἀμείβεσθαι προσήκειν. γίνεται δὲ ἐκ τῆς νεφέλης παῖς Ἰξίονος διφυής τὰ μὲν κατώτερα μέρη τῆς μητρὸς ἔχων. αἱ γὰρ νεφέλαι ἵπποις ἐοίκασι τὰ δὲ ἀνώτερα μέρη ἀπὸ τοῦ ὀμφαλοῦ μέχρι τῆς κεφαλῆς τοῦ πατρὸς Ἰξίονος. φερόμενος δὲ οὗτος κατὰ Μαγνησίαν ἀκόλαστον εἶχε τὴν ὁρμὴν πρὸς τὰς συνουσίας. ἐῴκει γὰρ † ἐπηθύος. τοῦ πατρὸς ἀκολασίᾳ καὶ πολλάκις ἐπλησίαζε ταῖς κατὰ τὸ Πήλιον ἵπποις ἐνθεῦθεν λέγεται τὸ τῶν Κενταύρων ἀναφῦναι γένος ὅθεν καὶ τὸν Πειρίθουν ἐπίκλησιν Ἰξίονος υἱὸν ὄντα λαμβάνειν ἐθέλειν γύναιον παρὰ τῶν συγγενῶν Κενταύρων τὴν βάσιν τοῦ προύχοντος αὐτοῦ παρθένων Ἱπποδάμειαν. ἡ ἱστορία παρὰ Πινδάρῳ. ἀμήσαντες.] κόψαντες, ἀασθείς.] βλαβείς, ὀχέων.] ὑποφέρων ὁ ἔχων καὶ βαστάζων. ἀεσίφρονι.] φρενοβλαβεῖ. ἐπητύος.] μετατήσεως.

ὕφι.] τῇ

Πέμψομεν, ἔνθεν δ' οὔ τι σαώσεαι ἀλλὰ ἕκηλος
Πῖνέ τε, μὴ δ' ἐρίδαινε μετ' ἀνδράσι κουροτέροισι.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια.
Αντίνο', οὐ μὲν καλὸν ἀτέμβειν οὐδὲ δίκαιον
Ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
Ελπεαι αἴχ' ὁ ξεῖνος Οδυσσῆος μέγα τόξον
Εντανύσῃ χερσί τε, βίηφί τε ἶφι πιθήσας,
Οἴκαδέ μ' ἄξεσθαι καὶ ἑὴν θήσεσθαι ἄκοιτιν.
Οὐδ' αὐτός που τοῦτό γ' ἐνὶ στήθεσσιν ἔολπε,
Μὴ δέ τις ὑμείων τοῦ γ' εἵνεκα θυμὸν ἀχεύων
Ενθάδε δαινύσθω, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν.
Τὴν δ' αὖτ' Εὐρύμαχος Πολύβου παῖς ἀντίον ηὔδα.
Κούρη Ἰκαρίοιο περίφρων Πηνελόπεια,
Οὔ τι σε τόνδ' ἄξεσθαι ὀϊόμεθ' οὐδὲ ἔοικεν.
Αλλ' αἰσχυνόμενοι φάτιν ἀνδρῶν ἠδὲ γυναικῶν,
Μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος Αχαιῶν.
Η πολὺ χείρονες ἄνδρες ἀμύμονος ἀνδρὸς ἄκοιτιν
Μνῶνται, οὔτ' οὐδέ τι τόξον ἐΰξοον ἐντανύουσιν.
Αλλ' ἄλλος τις πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν
Ῥηϊδίως ἐτάνυσσε βιόν, διὰ δ' ἧκε σιδήρου.
Ὣς ἐρέουσ', ἡμῖν δὲ ἐλέγχεα ταῦτα γένοιτο.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια.
Εὐρύμαχ' οὔπως ἐστὶν ἐϋκλεῖας κατὰ δῆμον
Εμμέναι, οἳ δὴ οἶκον ἀτιμάζοντες ἔδουσιν
Ανδρὸς ἀριστῆος, τί δ' ἐλέγχεα ταῦτα τίθεσθε.
Οὗτος δὲ ξεῖνος μάλα μὲν μέγας ἠδ' εὐπηγής.
Ανδρὸς δ' ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός,
Αλλ' ἄγε οἱ δότε τόξον ἐΰξοον, ὄφρα ἴδωμεν.
Ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται.
Εἴ κέ μιν ἐντανύσῃ, δώῃ δέ οἱ εὖχος Απόλλων,
Εσσω μιν χλαῖνάν τε χιτῶνά τε εἵματα καλά.
Δώσω δ' ὀξὺν ἄκοντα κυνῶν ἀλκτῆρα, καὶ ἀνδρῶν
Καὶ ξίφος ἄμφηκες, δώσω δ' ὑπὸ ποσσὶ πέδιλα.
Πέμψω δ' ὅππῃ μιν κραδίη θυμός τε κελεύοι.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα
Μῆτερ ἐμὴ τόξον μὲν Αχαιῶν οὔτις ἐμεῖο
Κρείσσων ᾧ κ' ἐθέλω δόμεναί τε καὶ ἀρνήσασθαι,
Οὐδ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
Οὐδ' ὅσσοι ναίουσι † πρὸς Ἤλιδος ἱπποβότοιο.
Τῶν οὔτις μ' ἀέκοντα βιήσεται αἴκε θέλοιμι,
Καὶ καθάπαξ ξείνῳ δόμεναι τάδε δόξα φέρεσθαι.
Αλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε,
Ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Εργον ἐποίχεσθαι, μῦθος δ' ἄνδρεσσι μελήσει
Πᾶσι μάλιστα δ' ἐμοί. τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ.

Ἡ μὲν

ἶφι.] τῇ ἑαυτοῦ. πιθήσας.] πιστεύσας. θαῤῥήσας. τοῦ εἵνεκα.] τούτου χάριν, ὅτι οὕτως ἐμὲ ἄξεται. οὐ δὲ ἔοικε.] τοῦτο ὑμᾶς ἐννοεῖν. διαδ' ἧκε.] διέπεμψε, διεπέρασεν. εὐπηγής.] εὐπαγής. νησοῖσι πρὸς Ἤλιδος.] ταῖς περὶ τὸ Δουλίχιον. καθάπαξ.] καθόλου. τοῦτο δὲ οὕτως ἔχει παρὰ τῷ Ποιητῇ ἐν ᾧ τῆς προηγουμένης λέξεως ληγούσης εἰς ξ, καὶ ἡ ἑξῆς ἄρχεται ἀπ' αὐτοῦ. πλάγκτε.] παραπλὴξ τὴν διάνοιαν πεπλανημένε.

ἐλύκησι.]

† νησοῖσι.

Η μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει.
Παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
Ες δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν,
Κλαῖεν ἔπειτ' Ὀδυσῆα φίλον πόσιν, ὄφρα οἱ ὕπνον
Ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
Αὐτὰρ ὁ τόξα λαβὼν φέρε καμπύλα δῖος ὑφορβός.
Μνηστῆρες δ' ἄρα πάντες ὁμόκλεον ἐν μεγάροισιν.
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων.
Πῇ δὴ καμπύλα τόξα φέρεις ἀμέγαρτε συβῶτα
Πλαγκτέ, τάχ' ἄν σ' ἐφ' ὕεσσι κύνες ταχέες κατέδονται
Οἷον ἀπ' ἀνθρώπων, οὓς ἔτρεφες, εἴ κεν Ἀπόλλων
Ἡμῖν θ' ἱλήκῃσι καὶ ἀθάνατοι θεοὶ ἄλλοι.
Ὣς φάσαν, αὐτὰρ ὁ θῆκε φέρων αὐτῷ ἐνὶ χώρῳ,
Δείσας, οὕνεκα πολλοὶ ὁμόκλεον ἐν μεγάροισι,
Τηλέμαχος δ' ἑτέρωθεν ἀπειλήσας ἐγεγώνει.
Ἄττα, πρόσω φέρε τόξα τάχ' οὐκ εὖ πᾶσι πιθήσεις,
Μή σε καὶ ὁπλότερος περ ἐὼν ἀγρόνδε δίωμαι
Βάλλων χερμαδίοισι, βίηφι δὲ φέρτερός εἰμι.
Αἲ γὰρ πάντων τόσον ὅσοι κατὰ δώματ' ἔασι
Μνηστήρων χερσίν τε, βίηφί τε φέρτερος εἴην,
Τῷ κε τάχα στυγερῶς τιν' ἐγὼ πέμψαιμι νέεσθαι
Ἡμετέρου ἐξ οἴκου, ἐπεὶ κακὰ μηχανόωνται.
Ὣς ἔφαθ' οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν
Μνηστῆρες, καὶ δὴ μεθίεν χαλεποῖο χόλοιο
Τηλεμάχῳ, τὰ δὲ τόξα φέρων ἀνὰ δῶμα συβώτης,
Ἐν χείρεσσ' Ὀδυσῆϊ δαΐφρονι θῆκε παραστάς.
Ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν.
Κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας.
Ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ,
Ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι μή τι θύραζε
Προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.
Ὣς ἄρ' ἐφώνησεν, τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
Κληῖσαι δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
Σιγῇ δ' ἐξ οἴκοιο Φιλοίτιος ἆλτο θύραζε.
Κλήϊσεν δ' ἄρ' ἔπειτα θύρας εὐερκέος αὐλῆς.
Κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης
Βύβλινον, ᾧ ῥ' ἐπέδησε θύρας, ἐς δ' ἤιεν αὐτός.
Ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰὼν ἔνθεν περ ἀνέστη,
Εἰσορόων Ὀδυσῆα, ὁ δ' ἤδη τόξον ἐνώμα
Πάντῃ ἀναστροφέων πειρώμενος ἔνθα, καὶ ἔνθα,
Μὴ κέρα ἶπες ἔδοιεν, ἀποιχομένοιο ἄνακτος.
Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων.
Ἦ ῥά νύ που τοιαῦτα καὶ αὐτὸς οἴκοθι κεῖται,
Ἢ ὅγ' ἐφορμᾶται ποιησέμεν, ὡς ἐνὶ χερσὶν

Νωμᾷ

ἱλήκῃσι.] ἵλεως γένηται. ὅπλον.] σχοινίον. βίβλινον. καννάβινον. οἱ δὲ τὸ ἐκ παπύρου. ἀναστροφέων.] ἀναστρέφων. πειρώμενος. καταμανθάνων. ἶπες.] θηρία ἐσθίοντα τὰ φόρατα παραπλήσια κώνωψι. κατανόει δὲ μὴ ἄρα ἄχρηστα αὐτῷ γένηται καὶ ἑτέρα δέον χρήσασθαι μηχανῇ. θηητήρ.] θαυμαστικός, ἔμπειρος. ἐπίκλοπος.] ἐπιθυμητής, ὀρεκτικὸς κλέπτης. κλέπτειν γὰρ τὸ ἐπιθυμεῖν. καὶ κλέπτης ὁ ἐπιθυμητὴς τῶν ἀλλοτρίων. ἐφορμᾶται.] προτεθύμηται. τοσοῦτον ὀνήσιος ἀντιάσειεν.] ὁ νοῦς. εἴθε καὶ ἐπὶ τοσοῦτον δύνησιν ὧν βούλεται λάβοι. ἢ οὕτως. εἴθε τοσοῦτον μετάσχοι, ὡς οὐ δυνήσεται ἐντανῦσαι.

ὀνήσιος.]

Νωμᾷ ἔνθα καὶ ἔνθα κακῶν ἔμπαιος ἀλήτης.
Ἄλλος δ' αὖτ' εἴπεσκε νέων ὑπερηνορεόντων·
Αἲ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν,
Ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐντανύσασθαι.
Ὣς ἄρ' ἔφαν μνηστῆρες· ἀτὰρ πολύμητις Ὀδυσσεύς,
Αὐτίκ' ἐπεὶ μέγα τόξον ἐβάστασε καὶ ἴδε πάντῃ,
Ὡς ὅτ' ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς
Ῥηϊδίως ἐτάνυσσε νέῳ ἐπὶ κόλλοπι χορδήν,
Ἅψας ἀμφοτέρωθεν ἐϋστρεφὲς ἔντερον οἰός,
Ὣς ἄρ' ἄτερ σπουδῆς τάνυσε μέγα τόξον Ὀδυσσεύς.
Δεξιτερῇ δ' ἄρα χειρὶ λαβὼν πειρήσατο νευρῆς·
Ἡ δ' ὑπὸ καλὸν ἄεισε, χελιδόνι εἰκέλη αὐδήν.
Μνηστῆρσιν δ' ἄρ' ἄχος γένετο μέγα, πᾶσι δ' ἄρα χρὼς
Ἐτράπετο· Ζεὺς δὲ μεγάλ' ἔκτυπε σήματα φαίνων.
Γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
Ὅττι ῥά οἱ τέρας ἧκε Κρόνου πάϊς ἀγκυλομήτεω,
Εἵλετο δ' ὠκὺν ὀϊστόν, ὅς οἱ παρέκειτο τραπέζῃ
Γυμνός· τοὶ δ' ἄλλοι κοίλης ἔντοσθε φαρέτρης
Κείατο, τῶν τάχ' ἔμελλον Ἀχαιοὶ πειρήσεσθαι.
Τόν ῥ' ἐπὶ πήχει ἑλὼν εἷλκεν νευρήν, γλυφίδας τε,
Αὐτόθεν ἐκ δίφροιο καθήμενος, ἧκε δ' ὀϊστὸν
Ἄντα τιτυσκόμενος, πελέκεων δ' οὐκ ἤμβροτε πάντων
Πρώτης στειλειῆς, διὰ δ' ἀμπερὲς ἦλθε θύραζε
Ἰὸς χαλκοβαρής. ὁ δὲ Τηλέμαχον προσέειπεν.
Τηλέμαχ', οὔ σ' ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει
Ἥμενος, οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον, οὐδέ τι τόξον
Δὴν ἔκαμον τανύων, ἔτι μοι μένος ἔμπεδόν ἐστιν,
Οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
Νῦν δ' ὥρη καὶ δόρπον Ἀχαιοῖσι τετυκέσθαι
Ἐν φάει. αὐτὰρ ἔπειτα καὶ ἄλλως ἑψιάασθαι
Μολπῇ καὶ φόρμιγγι, τὰ γάρ τ' ἀναθήματα δαιτός.
Ἦ. καὶ ἐπ' ὀφρύσι νεῦσεν, ὁ δ' ἀμφέθετο ξίφος ὀξὺ
Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
Ἀμφὶ δὲ χεῖρα φίλην βάλεν ἔγχει, ἄγχι δ' ἄρ' αὐτοῦ,
Πὰρ θρόνῳ εἱστήκει κεκορυθμένος αἴθοπι χαλκῷ.

ὀνήσιος.] ὠφελείας ἢ διὰ βρώσεως ἣν εἰλήφει παρὰ τῶν μνηστήρων. νέῳ.] ἀντὶ τοῦ καινῷ. κόλλοπι.] κολλάβῳ. εἴρηται δὲ παρὰ τὴν κόλλαν. ἅψας.] ἐκδήσας. ἔντερον οἰός.] τὴν χορδήν. χρώς.] ἡ χροιά. ἐτράπετο.] ἐτράπη, ἠλλοιώθη. κοίλης.] βαθείας διὰ τὸ γεγλύφθαι. πήχει.] τῷ τοῦ τόξου πέρατι. τιτυσκόμενος.] καταστοχαζόμενος. πρώτης στειλειῆς.] διὰ πρώτης γὰρ ὁ διὰ τῶν πελέκεων διηνεκῶς ἦλθεν. χαλκοβαρής.] ὁ ἀπὸ σιδήρου ἰσχυρός. ἐλέγχει.] ἐπονείδιστον τίθησιν. ὄνονται.] ἐκφαυλίζουσιν. νῦν δ' ὥρη καὶ δόρπον.] παρέλκει τὴν διάνοιαν αὐτοῦ. τὸ μὲν οὖν δεῖπνον, ἀντὶ τοῦ θανάτου. τὸ δὲ ἑψιάασθαι ἀντὶ τοῦ οἰμώζειν.

ἑψιάασθαι.] τέρπεσθαι. ἀμφέθετο.] ἐπεῖχεν, ἐνέδυσεν.

ΥΠΟΘΕΣΙΣ

ΟΔΥΣ-